εἶπεν· τί οὖν; ἀναγκάζεται φιλόσοφος; φαμὲν οὖν ὅτι ἡ ἀνάγκη διττή ἐστιν, ἡ μὲν ὑλική, ⟨ἡ δὲ θεία· ὑλικὴ⟩ μέν, ὡς ὅταν εἴπωσιν οἱ ἰατροὶ ʽἀνάγκην ἔχεις φλεβοτομηθῆναι, ἐπεὶ νοσήσεις᾽, θεία δέ, ὡς ὅταν λέγωμεν ʽἀνάγκην ἔχει ὁ θεὸς εὐεργετεῖν τὸν κόσμον᾽, ἀντὶ τοῦ ἀναγκαίως. ταύτην τὴν ἀνάγκην ἠναγκάζετο καὶ ὁ Σωκράτης.

Διὰ δὲ τοῦ Χαιρεφῶντος θηρᾷ τοὺς νέους, ἐπειδὴ καὶ οὗτος ὡς νέος καὶ συνήθης τοῖς νέοις ὡμίλει αὐτοῖς καὶ ἔφερεν αὐτοὺς πρὸς τὸν Σωκράτη.

7 *Οὐδὲν πρᾶγμα, ὦ Σώκρατες, ἐγὼ γὰρ καὶ ἰάσομαι* [447 b 1]: ὁ Χαιρεφῶν φησὶν ὅτι ʽοὐδὲν γέγονεν· ἐγὼ γὰρ ὁ αἴτιος γενόμενος ἰάσομαι, φίλος γάρ μοί ἐστι Γοργίας καὶ πείσω αὐτὸν πάλιν ἐπιδείξασθαι᾽. βλέπε δὲ πάλιν πῶς καὶ ὁ Χαιρεφῶν παροιμίαν λέγει ἁρμόττουσαν αὐτῷ· τὸ γὰρ ʽἐγὼ καὶ ἰάσομαι᾽ παροιμία ἐστὶν ἀπὸ τοῦ Τηλέφου καὶ τοῦ τρώσαντος αὐτὸν Ἀχιλλέως τοῦ καὶ ἰασαμένου λεχθεῖσα, ὅτι ʽὁ τρώσας καὶ ἰάσεται᾽. φέρει οὖν ὁ Χαιρεφῶν παροιμίαν πράγματος θεραπευομένου, ἐπειδὴ μέσην τάξιν ὡς εἴρηται ἔχει. ὅθεν οὐδὲ τραύματος
*11* ἐμνήσθη (οὕτω γὰρ ταραχῶδές τι ἔλεγεν καὶ | μιμούμενον τὰ τοῦ Καλλικλέους ῥήματα), ἀλλὰ τὸ ἰάσασθαι μόνον· Σωκράτους γὰρ μόνου καὶ τῶν αὐτοῦ μαθητῶν ἀκριβῶς θεραπεύειν τὰ τῆς ψυχῆς πάθη.

8 *Φίλος γάρ μοι Γοργίας* [447 b 2]: φησὶν ὁ Χαιρεφῶν ὅτι ʽφίλος μοί ἐστιν ὁ Γοργίας καὶ πείσω αὐτὸν πάλιν ἐπιδείξασθαι, ὦ Σώκρατες· εἰ μὲν βούλει, νῦν, εἰ δὲ μὴ νῦν, ἐσαῦθις᾽. τὸ δὲ ʽἐσαῦθις᾽ ἔμφασιν ἔχει τοῦ ʽἄλλοις, ὅταν βούλωνται᾽· οὐ γὰρ ἐπιδείξεως αὐτοῦ ἔχρῃζεν.

**mg. 10** παροιμία ἐφ᾽ ὧν πράξας τις ὁ αὐτὸς διορθώσεται ὡς μὴ πεπραγμένων εὖ.